ἤν μοι συννεφὲς ὄμμα βάλῃς ποτέ, χεῖμα δέδορκα,
ἢν δ' ἱλαρὸν βλέψῃς, ἡδὺ τέθηλεν ἔαρ.

## CIX

χειμέριον μὲν πνεῦμα, φέρει δ' ἐπὶ σοί με, Μυΐσκε,
ἁρπαστὸν κώμοις ὁ γλυκύδακρυς Ἔρως·
χειμαίνει δὲ βαρὺς πνεύσας Πόθος· ἀλλά μ' ἐς ὅρμον
δέξαι τὸν ναύτην Κύπριδος ἐν πελάγει.

## CX

εἰκόνα μὲν Παρίην ζωογλύφος ἄνυσ' Ἔρωτος
Πραξιτέλης Κύπριδος παῖδα τυπωσάμενος·
νῦν δ' ὁ θεῶν κάλλιστος Ἔρως ἔμψυχον ἄγαλμα
αὐτὸν ἀπεικονίσας ἔπλασε Πραξιτέλην,
ὄφρ' ὁ μὲν ἐν θνατοῖς, ὁ δ' ἐν αἰθέρι φίλτρα βραβεύῃ,
γῆς θ' ἅμα καὶ μακάρων σκηπτροφορῶσι Πόθων.
ὀλβίστη Μερόπων ἱερὰ πόλις, ἃ θεόπαιδα
καινὸν Ἔρωτα νέων θρέψεν ὑφαγεμόνα.

## CXI

Πραξιτέλης ὁ πάλαι ζωογλύφος ἁβρὸν ἄγαλμα
ἄψυχον μορφῆς κωφὸν ἔτευξε τύπον,
πέτρον ἐνειδοφορῶν· ὁ δὲ νῦν ἔμψυχα μαγεύων
τὸν τριπανοῦργον Ἔρωτ' ἔπλασεν ἐν κραδίᾳ.
ἦ τάχα τοὔνομ' ἔχει ταὐτὸν μόνον, ἔργα δὲ κρέσσων,
οὐ λίθον ἀλλὰ φρενῶν πνεῦμα μεταρρυθμίσας.